A χρου καὶ ἀντιλογίας πεποιημένου τοῦ καὶ δυναμένου ἐπιτρεῖψαι. Ἀλλ' εἰς Ἀκαδημίαν] ἐνταῦθα γὰρ διέτριβον οἱ φιλόσοφοι. ἦν γὰρ καὶ γυμνάσιον ἀπὸ Ἀκαδήμου τινὸς καταλείψαντος τὴν κτῆσιν ἑαυτοῦ πρὸς ἐπισκευὴν τοῦ τόπου. περὶ αὐτὸν δὲ ἦσαν αἱ ὄντως ἱεραὶ ἐλαῖαι τῆς θεοῦ. αἱ καλοῦνται μορίαι. ἐξ ὧν τὸ ἔλαιον τῶν Παναθηναίων. τὸν δὲ στέφανον τοῦ καλάμου προέκρινεν ὡς ἁπλούστερον ὄντα καὶ ἀπειρόκαλον ἢ ὅτι αὐτῷ στέφονται οἱ Διόσκουροι. Ὑπὸ ταῖς μορίαις.] αἱ ἱεραὶ ἐλαῖαι τῆς Ἀθηνᾶς ἐν τῇ Ἀκροπόλει Μορίαι ἐκαλοῦντο. λέγουσι γὰρ ὅτι Ἁλιρρόθιος ὁ παῖς Ποσειδῶνος ἠθέλησεν ἐκκόψαι
B αὐτάς. διὰ τὸ τῆς ἐλαίας εὑρεθείσης, κριθῆναι τῆς Ἀθηνᾶς τὴν πόλιν. ὁ δὲ ἀνατείνας τὸν πέλεκυν καὶ ταύτης ἀποτυχών, ἔπληξεν ἑαυτὸν καὶ ἀπέθανε. καὶ διὰ τοῦτο μορίαι ἐλαῖαι ἐκλήθησαν. ἢ διὰ τὸ πάντα ἄνθρωπον κεκτημένον ἐλαίας ἀναγκάζεσθαι μέρος τι παρέχειν εἰς τὰ Παναθήναια. κέραμον γὰρ ἐλαίου ἐλάμβανον οἱ νικῶντες. ἐπεφύτευτο δὲ ἐν τῷ γυμνασίῳ δένδρον. ἔθος δὲ ἦν τοῖς ἀσκουμένοις, ἀλειψαμένοις ἐν τῷ ἡλίῳ, τρέχειν. ἄλλως. ἡττηθεὶς τῆς Ἀθηνᾶς ὁ Ποσειδῶν ἐπὶ τῇ τῆς ἐλαίας ἐπιδείξει, ἔπεμψε τὸν υἱὸν αὐτοῦ Ἁλιρρόθιον ταύτην τεμοῦντα. ὁ δὲ ἀνατείνας τὸν πέλεκυν, ταύτης μὲν ἠστόχησε. τὸν δὲ πόδα αὐτοῦ πλήξας ἐτελεύτησε. καὶ οὕτω μορία ἡ ἐλαία ἐκλήθη. ὡς μόρου παρεκτική. ἦν δὲ ἡ Ἀκαδημία σχολεῖόν τι ἐν Ἀθήναις ἐλαίαις καὶ ἄλλοις τισὶ δένδρεσι κατάσκιον.

Στεφανωσάμενος καλάμῳ λευκῷ μετὰ σώφρονος ἡλικιώτου.
Μίλακος ὄζων καὶ ἀπραγμοσύνης καὶ λεύκης φυλλοβολούσης
C Ἦρος ἐν ὥρᾳ χαίρων ὁπότ' ἂν πλάτανος πτελέᾳ ψιθυρίζῃ.
Ἢν ταῦτα ποιῇς ἁγὼ φράζω,
Καὶ πρὸς τούτοις προσέχῃς τὸν νοῦν,
Ἕξεις αἰεὶ στῆθος λιπαρόν.
Χροιὰν λαμπράν. ὤμους μεγάλους.
Γλῶτταν βαιάν. πυγὴν μεγάλην.
Πόσθην μικράν. ἢν δ' ἅπερ οἱ νῦν,
Ἐπιτηδεύῃς, πρῶτα μὲν ἕξεις
D Χροιὰν ὠχράν. ὤμους μικρούς.
Στῆθος λεπτόν. γλῶτταν μεγάλην.
Πυγὴν μικράν. κωλῆν μεγάλην.
Ψήφισμα μακρόν. καί σ' ἀναπείσει,
Τὸ μὲν αἰσχρὸν ἅπαν, καλὸν ἡγεῖσθαι,
Τὸ καλὸν δ' αἰσχρόν. καὶ πρὸς τούτοις
Τῆς Ἀντιμάχου
Καταπυγοσύνης ἀναπλήσει.

*Sacris spatiaberis, inter coaequales, calamo redimitus.*
*Milacémque redolebis, & ocium & indita populna capillis*
*Folia, Vere nouo gaudens, cùm platanus vlmusque susurrant.*
*Quòd si haec facias ego quae dico:*
*Animúmque his aduortas dictis:*
*Pectus habebis semper nitidum,*
*Vultum lucentem, humeros magnos,*
*Exilem linguam, anum grandem,*
*Penem exiguum. At si eadem, quae alij*
*Faciunt, facias: semper habebis*
*Vultum pallentem, humeros paruos,*
*Pectus gracile, ingentem linguam,*
*Penem magnum, paruúmque anum*
*Et longum decretum: quod tibi*
*Persuadebit, vt omne id honestum*
*Ducas, quicquid erit turpe: & ad haec*
*Foedo Antimachi*
*Itidem opplebere flagitio.*

E

Σχόλια. Καλάμῳ λευκῷ.] λιτὸς γὰρ καὶ ἀπειρόκαλος ὁ τοιοῦτος στέφανος. ἦν δὲ τῶν Διοσκούρων ἴδιον στεφανοῦσθαι καλάμῳ. Μίλακος.] εἶδος βοτάνης. παρέμιξε τὸ ἀπραγμοσύνης. ἀπραγμοσύνη δὲ φυτὸν ὡς Ἀριστοφάνης ὁ γραμματικὸς ἐν Ἀκαδημίᾳ φυόμενον. ἡ λεύκη δὲ ὁμοία πλατάνῳ. ἄλλως. ἀπραγμοσύνη εἶδος ἄνθους. οἷον πάσης εὐωδίας ὄζων καὶ ἀσφαλείας. ἢ ἀπραγμοσύνης, ἀντὶ τοῦ πολυπραγμοσύνης. τὸ δὲ ψιθυρίζει, ἀντὶ τοῦ ἀνέμου πνέοντος μαλακοῦ καὶ ἠρέμα διὰ τῶν φύλλων εἰσιόντος, ὥσπερ προσλαλεῖ τὰ δένδρα, ὅπερ ψιθυρίζειν
F λέγεται. καὶ Θεόκριτος. ἁδύ τι τὸ ψιθύρισμα.

Bisetvs. Πλάτανος πτελέᾳ] εἰ τὸ πτελέα ἄνευ ι ὑπογραφομένου γράψῃς, ἀσύνδετον ἔσται, ἀντὶ τοῦ, ἡ πλάτανος, καὶ ἡ πτελέα. εἰ δὲ πτελέᾳ διὰ τῆς διφθόγγου ᾳ, ταῦτα ληπτέον οὕτως, ἡ πλάτανος τὴν πτελέαν ἠρέμα προσλαλεῖ. τοῦτο δὲ ποιητικῶς εἴρηται, καὶ τὸ ἔαρ οὕτω χαρακτηρίζεται. Ψιθυρίζειν δέ, παρὰ τὸ ψίειν, ὅ ἐστι λεπτύνειν ἐν ταῖς θύραις, ἤγουν ἐν ταῖς ἀκοαῖς, καὶ ἠρέμα, εἰς τὸ οὖς διαλέγεσθαι. λέγεται καὶ περὶ
G τῶν δένδρων, ὅταν πνέοντος ἀνέμου μαλακοῦ τὰ φύλλα σείεται, καὶ μακρὸν καὶ γλυκὺν ἦχον ποιεῖ. Θεόκριτος εἰδ. α. Ἁδύ τι τὸ ψιθύρισμα, καὶ ἁ πίτυς αἰπόλε τήνα ἁ ποτὶ ταῖς παγαῖσι μελίσδεται. ἀλλαχοῦ δὲ ψιθυρίζειν, τὸ διαβάλλειν δηλοῖ. καὶ λόγος ψίθυρος, ὁ διάβολος, ἡ διαβολή. Σοφοκ. Αἴαντι μαστιγ. Τοιοὺς δὲ λόγους ψιθύρους πλάσσων.

Σχόλια. Ἢν ταῦτα ποιῇς.] ἔκθεσις τῆς διπλῆς ἐκ κώλων ὁμοίων ἀναπαιστικῶν δεκαπέντε. ὧν τὰ μὲν ιγ δίμετρα ἀκατάληκτα. τὸ τεσσαρεσκαιδέκατον μονόμετρον ὃ παρατέλευτον ὀνομάζεται. τὸ τελευταῖον ἐφθημιμερές, ὃ καλεῖται παροιμιακὸν ὡς εἴρηται. ἐπὶ τῷ τέλει δύο διπλαῖ, ἡ μὲν ἐν ἀρχῇ, ἡ δὲ κατὰ τὸ τέλος τοῦ κώλου ἔξω νενευκυῖαι. Γλῶτταν βαιάν.] σωφροσύνης σύμβολον. οἷον μὴ φλυαρολογεῖν. τὸ δὲ πυγὴν μεγάλην, ἢ γέλωτος χάριν. ἢ διὰ τὴν τροφὴν ἕξεις πυγὴν μεγάλην. πόσθη δὲ τὸ μόριον τοῦ ἀνδρός. αἰνίττεται δὲ εἰς τοὺς Ἀθηναίους. Χροιὰν ὠχράν.] διὰ τὴν ἀταξίαν. Ὤμους μικρούς.] γράφεται καὶ λεπτοὺς καὶ λευκούς. οἷοι τῶν ἀγυμνάστων καὶ ἀργῶν.

Bisetvs. Κωλῆν μεγάλην] τουτέστιν αἰδοῖον. τοῦτο δὲ ἐπιφέρει ὁ ποιητὴς ἀντιπαρατιθεὶς τῷ προηγουμένῳ, πόσθην μικράν.

Σχόλια. Ψήφισμα μακρόν.] τὸ ἐκ πολυλογίας συγκείμενον. ἀντὶ τοῦ μεγάλῳ ψηφίσματι γράψεις. Τῆς Ἀντιμάχου.] οὗτος ὡς κίναιδος καὶ εὔμορφος καὶ θηλυμανὴς κωμῳδεῖται. δεύτερος ὁ ἐπὶ πονηρίᾳ κωμῳδούμενος. τρίτος ὁ ψεκὰς λεγόμενος. τέταρτος ὁ τραπεζίτης οὗ μέμνηται Εὔπολις ἐν δήμοις. πέμπτος ἱστοριογράφος. τάχα δὲ αὐτός ἐστι τῷ εὐμόρφῳ.